# ΑΘΗΝΑ

## ΣΥΓΓΡΑΜΜΑ ΠΕΡΙΟΔΙΚΟΝ

ΤΗΣ

## ΕΝ ΑΘΗΝΑΙΣ
## ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

(ΕΒΡΑΒΕΥΘΗ ΥΠΟ ΤΗΣ ΑΚΑΔΗΜΙΑΣ ΑΘΗΝΩΝ)

ΤΟΜΟΣ ΕΞΗΚΟΣΤΟΣ ΕΚΤΟΣ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ ΜΗΝΑ Δ. ΜΥΡΤΙΔΟΥ
1962

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΤΟ ΑΥΤΟ ΕΝ ΣΥΝΘΕΣΕΙ

**Α΄ Φιλοσοφικῶς.** Διὰ τοῦ *αὐτὸ* ἐν συνθέσει *(αὐτο-)* δηλοῦται ἡ ἀρχικὴ καὶ ἀρχικωτέρα καὶ ἀρχικωτάτη ἰδέα[1] καὶ προτύπωσις, τὸ νοητὸν καὶ μέγιστον ἀρχέτυπον τῆς αἰσθητῆς εἰκόνος (πᾶν ὂν προϋποτίθησι νοητὸν ἀρχέτυπον) ἢ τὰ ἀρχέτυπα τοῦ αἰσθητοῦ κόσμου (αἱ ἰδέαι), ὁ ὑπὲρ αἴσθησιν κόσμος τῶν ἰδεῶν, ὁ προϋφεστὼς τύπος, ἡ ἀπαράλλακτος εἰκὼν τῆς ἀνεκφράστου καὶ ἀπερινοήτου ἰδέας[2], τὸ πρώτιστον παράδειγμα, ἡ νοερὰ αἰτία, ἡ μὴ κινουμένη σφραγίς, «ἡ πρὸ πάσης ἰδιότητος ἀρχικὴ μονὰς» (Σιμπλίκιος) ἀφ' ὧν ἡ μεταβλητὴ φύσις λαμβάνει τὰς ἰδέας τῶν ἐπιγείων· ἀπηχήματά εἰσι ταῦτα τῶν ἐκεῖθεν πρώτως ὑποστάντων, ὧν σκιάς τινας καὶ μιμήματα ἐν τῇ καθ' ἡμᾶς θεωροῦμεν φύσει[3]. οὕτω δὴ εἰκόνας ἐκείνων τὰ ἐνταῦθα δεῖ νομίζεσθαι καὶ ἀπεικάσματα. τὸ *αὐτὸ* αἴτιόν ἐστι τῶν μετ' αὐτό, πῶς

---

1. Οἱ φιλόσοφοι καὶ τὴν ἰδέαν διὰ τοῦ *αὐτὸ* ἐδήλουν *αὐτοάνθρωπος* λέγοντες ('Ανώνυμος). τοῦ ἐπὶ μέρους καὶ ἀτόμου νοῦ προϋπάρχει τις ἰδέα, ὡς ἂν ἀρχέτυπος καὶ παράδειγμα τούτου, καὶ πάλιν τῆς κατὰ μέρος αἰσθήσεως, σφραγῖδος λόγον ἔχουσα εἴδη τυπούσης· πρὶν μὲν γενέσθαι τὰ ἐπὶ μέρους νοητά, ἦν τὸ αὐτὸ τοῦτο νοητόν, οὗ κατὰ μετοχὴν καὶ τὰ ἄλλα ὠνόμασται· πρὶν δὲ γενέσθαι τὰ κατὰ μέρος αἰσθητά, ἦν τὸ αὐτὸ τοῦτο γενικὸν αἰσθητόν, οὗ κατὰ μετουσίαν καὶ τὰ ἄλλα αἰσθητὰ γέγονε (Φίλων).

2. Εἰσὶν οὐσίαι αὐταὶ καθ' αὐτὰς κεχωρισμέναι, ὡς ὁ Πλάτων ἔλεγεν, ὧν οὐσιῶν οὐκ εἰσὶν ἕτεραι οὐσίαι μηδὲ φύσεις πρότεραι· τῶν γὰρ ἰδεῶν φύσεις ἄλλας τινὰς καὶ προτέρας οὐκ ἔλεγον οἱ ταύτας τιθέμενοι (Α. 'Αφροδισιεύς).

3. Θαυμαστὰ καὶ ἔκλαμπρα καὶ μακάρια κάλλη, ὁποῖα ἐξειπεῖν εἰς ἀνθρώπους δυσχερές. εἶναι γὰρ αὐτὴν δικαιοσύνην καὶ φρόνησιν καὶ ἀλήθειαν καὶ σωφροσύνην καὶ τὰ ἄλλα ὡσαύτως ἐπιφανῆ τῆς σοφίας ἄνθη, ὧν ἡμεῖς ἐνθάδε σκιὰς μόνον φασματώδεις ὀνειρώσσοντες, ἀπὸ τῶν πράξεων ἡγούμεθα τῶν ἀνθρωπίνων συνεστάναι, ὅτι μή ἐστιν αὐτῶν δεῦρο μηδὲν εἴδωλον καταφανές, ἀλλ' ἀπεικονίσματα μόνον ἀειδῆ, ἃ δὴ καὶ αὐτὰ σκοτεινῶς πολλάκις ἀπεικάζοντες αἰσθανόμεθα. οὐ γὰρ ἂν πώποτε δικαιοσύνης αὐτῆς ἢ συνέσεως ὀφθαλμοῖς ἐθεάσατό τις μέγεθος ἢ σχῆμα ἢ κάλλος· ἐκεῖ δὲ ἐν τῷ Ὄντι, ὥς εἰσιν, ὁλοτελῆ βλέπονται καὶ σαφῆ (Μεθόδιος).

δ' ἔχουσι ταῦτα πρὸς αὐτὸ ἀντιλαμβανόμεθα ἀνατρέχοντες ἐκ τῆς αἰσθητῆς εἰκόνος εἰς τὸ ἐπιλάμπον τῇ ψυχῇ νοητὸν ἀρχέτυπον[1].

Ἔθος ἐστὶ τοῖς Πλατωνικοῖς διὰ τῆς προσθήκης τοῦ *ταῦ* στοιχείου ἢ τῆς προσθήκης τῆς φωνῆς τῆς *αὐτὸ* δηλοῦν τὰς εἰδητικὰς ἀπ' αὐτῶν καλουμένας ἀρχάς, αἵτινες πρώτως αὐτὸ τοῦτό εἰσιν ὃ λέγεται. διὰ μὲν τοῦ *ταῦ* τἀγαθόν, ὅπερ οὐδέν τι ἄλλο ἐστὶν ἀλλ' ἢ μόνως ἀγαθὸν καὶ πρώτως ἀγαθόν, τὰ δ' ἄλλα οἷον ὁ νοῦς ἢ ψυχὴ ἢ ἐπιστήμη ἢ ἀρετὴ ἀγαθὰ μὲν λέγεσθαι ἀλλ' οὐ πρώτως ἀλλὰ μετασχόντα τῆς τοῦ ἀγαθοῦ φύσεως λέγεσθαι ἀγαθά. καὶ ἔστιν ὁ νοῦς ἀγαθὸν μέν, οὐ μὴν τἀγαθόν. ὁμοίως καὶ ἡ ἐπιστήμη ἀγαθόν, τἀγαθὸν δὲ οὐδαμῶς, ἡ δὲ ἡδονὴ οὐκ ἀγαθὸν ἀλλὰ τἀγαθόν. ἡ γὰρ ἀρχὴ καὶ ἡ πηγὴ τῆς ἀγαθότητος, ἤτοι τἀγαθόν, ἡδονή ἐστι κατ' Εὔδοξον. οὕτω μὲν οὖν διὰ τοῦ *ταῦ* στοιχείου ἐδήλουν τὴν πρώτην ἀρχὴν καὶ αἰτίαν καὶ ῥίζαν καὶ οἷον τὸ κέντρον πάντων τῶν ἀγαθῶν, διὰ δὲ τῆς φωνῆς τῆς *αὐτὸ* τὸ *αὐτοέν*, τὸ *αὐτοζῷον*, τὸ *αὐτοόν*· τὸ μὲν αὐτοὲν τὴν ἀρχὴν καὶ πηγὴν τῶν ἑνῶν καὶ τῶν μονάδων· ἄλλα γὰρ κατ' αὐτοὺς τὰ ἕνα καὶ ἄλλαι αἱ μονάδες. ἔλεγον δὲ οἱ Πλατωνικοὶ τὸ αὐτοὲν καὶ τὸ τἀγαθὸν τὸ αὐτὸ εἶναι καὶ οὐκ ἄλλο καὶ ἄλλο. τὴν γὰρ πρωτίστην πάντων ἀρχὴν ἐκάλουν τὸ αὐτοὲν καὶ τὸ αὐτοαγαθὸν καὶ τἀγαθόν, τὸ δὲ αὐτοὸν ἔλεγον ἀρχὴν πρωτίστην πάντων τῶν ὄντων, δεύτερον δὲ τοῦ αὐτοενός. εἶναι γὰρ πρώτιστον πάντων τὸ αὐτοέν, εἶτα τὸ αὐτοόν, εἶτα τὴν αὐτοζωήν, εἶτα τὸ αὐτοζῷον (Μιχαὴλ Ἐφέσιος).

Ῥητέον δὲ ὅτι τὸ *αὐτοκαλὸν* καὶ τὸ *αὐτοδίκαιον* καὶ τὸ *αὐτοαγαθὸν* οὐ μόνον ἐστὶν ἐν τῷ νῷ, ἀλλὰ καὶ ἐν ψυχαῖς καὶ ἐν τοῖς αἰσθητοῖς, καὶ τὰ μὲν οὐκ ἔστιν ὁριστά, τὰ δὲ ἔστι· καὶ οὐ χρὴ διὰ τὴν τοῦ *αὐτοῦ* προσθήκην εὐθὺς ἐπὶ τὰ νοητὰ ὡς ἀληθῶς εἴδη τὰς ζητήσεις ἀναπέμπειν· ὃ δὴ παθόντες τινές, καὶ τῶν κακῶν ἰδέας ἔθεντο καὶ τῶν τεχνητῶν, διὰ τὴν *αὐτοκερκίδα* τὴν ἐν Κρατύλῳ καὶ τὸ *αὐτοανόσιον* ἐν Εὐθύφρονι, πάντων τῶν εἰδῶν κατὰ τὴν πρὸς τὰ καθέκαστα διαφορὰν τῷ *αὐτῷ* χαρακτηριζομένων. πάντως καὶ τὸ αὐτοκαλὸν καὶ τὸ αὐτοδίκαιον καὶ ἕκαστον εἶδος ἡγεῖται σειρᾶς ἰδίας· καὶ ἔστιν ἐν πᾶσι τοῖς οὖσι νοεροῖς ψυχικοῖς, ἔτι δὲ καὶ σωματικοῖς· καὶ ἐν ψυχαῖς ἄλλως ἐν ἄλλαις, θείαις, δαιμονίαις, ἀνθρωπίναις· καὶ ἐν σώμασιν ἄλλως ἐν ἄλλοις· οἷον τὸ καλὸν θείοις ἢ δαιμονίοις ἢ καὶ τούτων ὑφειμένοις (Πρόκλος).

---

1. Ἔδειξε δὲ ὁ Πλάτων, ὅτι τὸν αὐτοκύκλον, οὔτε ὄνομα ποιεῖ γνωστὸν ἡμῖν, οὔτε ὁ χαρακτήρ, οὔτε ὁ ὁρισμός, ἀλλ' ἡ νόησις (Πρόκλος).

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΤΗΣ ... Ψ.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

**Β' Χριστιανικῶς.** « *Ἐκ τοῦ πληρώματος τοῦ Χριστοῦ ἡμεῖς πάντες ἐλάβομεν* » (Ἰωάννης). Οὐ μεθεκτήν, φησίν, ἔχει τὴν δωρεάν, ἀλλ' αὐτοπηγὴ καὶ αὐτόρριζα ἐστὶ πάντων τῶν καλῶν, αὐτοζωὴ καὶ αὐτοφῶς καὶ αὐτοαλήθεια, οὐκ ἐν ἑαυτῷ συνέχων τῶν ἀγαθῶν τὸν πλοῦτον, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑπερβλύζων αὐτὸν καὶ μετὰ τὸ ὑπερβλύσαι μένων πλήρης· ἐν οὐδενὶ γὰρ ἐλαττούμενος ἐκ τῆς εἰς ἑτέρους χορηγίας, ἀλλ' ἀεὶ πηγάζων καὶ πᾶσι τούτων μεταδιδοὺς τῶν καλῶν ἐπὶ τῆς αὐτῆς μένει τελειότητος (Ι. Χρυσόστομος). ὃν νομίζομεν καὶ πεπείσμεθα ἀρχῆθεν εἶναι Θεὸν καὶ Υἱὸν Θεοῦ, οὗτος ὁ Αὐτολόγος ἐστὶ καὶ ἡ αὐτοσοφία καὶ ἡ αὐτοαλήθεια (Ὠριγένης), ὁ πρῶτος πάντως καὶ ἀληθὴς τεχνίτης καὶ δημιουργὸς[1] (Ν. Βλεμμίδης). πάντα τὰ ἐκ Θεοῦ καὶ μετὰ Θεὸν πάσχει τῷ κινεῖσθαι, ὡς μὴ ὄντα αὐτοκίνησις καὶ αὐτοδύναμις (Μάξιμος ὁ Ὁμολογητής).

Οὐκ οὐσίαν τινὰ θείαν ἢ ἀγγελικὴν εἶναί φαμεν τὸ *αὐτοεῖναι*, τοῦ εἶναι τὰ ὄντα πάντα αἰτίαν· μόνον γὰρ τοῦ εἶναι τὰ πάντα καὶ αὐτὸ τὸ εἶναι τὸ ὑπερούσιον ἀρχὴ καὶ οὐσία καὶ αἴτιον· οὐδὲ ζωογόνον ἄλλην θεότητα παρὰ τὴν ὑπέρθεον πάντων ὅσα ζῇ, καὶ τῆς *αὐτοζωῆς* αἰτίαν ζωήν, οὔτε συνελόντα εἰπεῖν ἀρχικὰς τῶν ὄντων καὶ δημιουργικὰς οὐσίας καὶ ὑποστάσεις, ἅς τινες καὶ θεοὺς τῶν ὄντων καὶ δημιουργοὺς αὐτοσχεδιάσαντες ἀπεστομάτισαν, οὓς ἀληθῶς καὶ κυρίως εἰπεῖν οὔτε αὐτοὶ ᾔδεισαν οὔτε οἱ πατέρες αὐτῶν. προσέσχες; οὐχ ὡς οὐσίας, φησίν, ἢ ὑποστάσεις διακρίνομεν ἀπὸ τοῦ Θεοῦ τὸ ὂν καὶ τὴν ζωὴν καὶ τὸ ἀγαθὸν καὶ τὴν σοφίαν καὶ τἆλλα, ἵν' ὡς θεοὶ καὶ δημιουργοὶ τῶν κτισμάτων εἶεν αὐτὰ αἴτια — ταῦτα γὰρ τὰ τῆς πολυθείας ἄντικρυς — ἀλλ' ἓν φαμεν τὸ ὑπερούσιον πάντων αἴτιον καὶ αὐτῶν τούτων φημὶ τῶν ἑαυτοῦ προόδων καὶ δὴ καὶ τῶν κτισμάτων, τῶν μὲν δημιουργικῶς ὡς κτισμάτων αὐτοῦ, τῶν δὲ φυσικῶς ὡς ἰδιωμάτων αὐτοῦ φυσικῶν, ὡς καὶ ὁ μέγας φησὶ Βασίλειος. δυνάμεις γὰρ οὐ καθ' ἑαυτὰς ὑφεστώσας, ἀλλ' ἐνθεωρουμένας τῇ ὑπερουσίῳ ἐκείνῃ οὐσίᾳ, ὁ Διονύσιος ταύτας φησίν, ὡς εἶναι σὺν ἐκείνῃ ταύτας. ἀχώρι-

1. Ὁ Πλάτων πρῶτος ἐπενόησε καὶ προσηγόρευσε τὰς ἰδέας, οἷον τὸν καθόλου ἄνθρωπον, τὸν καθόλου βοῦν, τὸν καθόλου ἵππον καὶ ὅσα καθόλου, νοητά τινα ταῦτα λέγων τῶν αἰσθητῶν παραδείγματα. ἀλλ' ἡμεῖς μὲν ταῦτα λόγους δημιουργικοὺς νομίζομέν τε καὶ ὀνομάζομεν, καθ' οὓς ὁ Θεὸς ὑπεστήσατο τὰ πάντα, παρ' αὐτῷ τε ὄντα καὶ οὐκ ἐξ ἐνθυμήσεως ἐπιγινόμενα ὕστερον. ἅμα γὰρ Θεὸς καὶ ἅμα παρ' αὐτῷ πάντων τῶν ὄντων οἱ λόγοι, νοητῶν τε καὶ αἰσθητῶν. ὁ δὲ Πλάτων ἔξωθεν τοῦ Θεοῦ ταῦτα λέγει καὶ πρὸς αὐτὰ βλέποντα τὸν Θεόν, ὡς εἰς ἀρχέτυπα, δημιουργῆσαι τὰ αἰσθητὰ (Ἠλίας Κρήτης).

στοι γὰρ καθάπαξ ἐκείνης καὶ ἀδιαίρετοι, ὡς τοῦ ἡλίου ἀκτὶς καὶ ἀπαύγασμα τοῦ πυρός, ἕνα Θεὸν ἁπάντων τρισυπόστατόν τε καὶ παντοδύναμον. μᾶλλον δὲ καὶ αὖθις αὐτῶν ἐκείνων διακοῦσαι τῶν τοῦ διδασκάλου λόγων καλόν. *αὐτοεῖναι*, φησί, καὶ *αὐτοζωὴν* καὶ *αὐτοθεότητά* φαμεν ἀρχικῶς μὲν καὶ θεϊκῶς καὶ αἰτιατικῶς τὴν μίαν πάντων ὑπεράρχιον καὶ ὑπερούσιον ἀρχὴν καὶ αἰτίαν, μεθεκτῶς δὲ τὰς ἐκδιδομένας ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικὰς δυνάμεις, τὴν *αὐτοουσίωσιν*, *αὐτοζώωσιν*, *αὐτοθέωσιν*, ὧν τὰ ὄντα, οἰκείως ἑαυτοῖς μετέχοντα, καὶ ὄντα καὶ ζῶντα καὶ ἔνθεα καὶ εἰσὶ καὶ λέγονται, καὶ τἆλλα ὡσαύτως (Φιλόθεος).

Ἐπισημειοῦσθαι δὲ ἄξιον ὅτι ὅσα ὁ ἅγιος Μάξιμος μετοχὰς τῶν ὄντων ἔλεγε, τὴν ἀρετήν, τὴν ἀγαθότητα, τὴν ζωήν, τὴν σοφίαν, τὸ ὄν, τὸ ἀεὶ ὄν, ὃ καὶ ἀπειρίαν εἶπε, καὶ τἆλλα ὧν καινοποιηθέντων καὶ δημιουργηθέντων, ὡς αὐτὸς εἶπεν, ἡ κτίσις κατὰ μετουσίαν ἔχει, τὰ τοιαῦτα ὁ μέγας Διονύσιος εἴρηκεν αὐτοαγαθότητα, αὐτοζωήν, αὐτοσοφίαν, αὐτοουσίαν, αὐτοεῖναι καὶ τὰ παραπλήσια. ὀνομάζει δὲ ταῦτα οὕτως, ὅτι τὰς μετοχὰς ταύτας ἀπὸ τῶν μετεχόντων διαιρῶν καὶ αὐτὰς καθ' αὐτὰς ἐπινοίᾳ λαμβάνων χωρὶς ὑποκειμένου, οἷον τὴν δύναμιν ἀπὸ τοῦ δυνατοῦ, καὶ τὴν σοφίαν ἀπὸ τοῦ σοφοῦ, καὶ τὴν ζωὴν ἀπὸ τοῦ ζῶντος, αὐτό τι ἕκαστον καλεῖ, οἷον *αὐτοδύναμιν*, οἱονεὶ τοῦτο μόνον εἰλικρινῆ καὶ καθαρὰν δύναμιν, καὶ *αὐτοζωήν*, ὁμοίως δὲ καὶ τὰ ἄλλα, ὥσπερ καὶ αὐτοανθρωπότητα καὶ αὐτολευκότητα, τὰ κατηγορούμενα ἄνευ τῶν ὑποκειμένων, καὶ ταῦτα πρώτως ὄντα καλεῖ· φύσει γὰρ αἱ μετοχαὶ πρότεραι τῶν ὄντων καὶ μετεχόντων, διὸ καὶ πρώτως τούτων πάντων ἀθρόον ὑποστάτην λέγει τὸν Θεόν, οὐχ ὅτι πρότερα τῷ χρόνῳ τῶν παρωνύμων ἀπ' αὐτῶν, ἀλλ' ὅτι τῇ φύσει· οὐ γὰρ ἔχει ταῦτα καθ' ἑαυτὰ τὸ εἶναι, ἀλλ' ἐν ἄλλοις. ἔπειτα αἴτιον φησὶν ἑκάστης τῶν καθόλου μετοχῆς, ἔπειτα τῆς μερικῆς ἑκάστης τῶν καθόλου, καὶ ἐπὶ τῶν μετεχόντων ὁμοίως ποιῶν, πρώτως λέγει αἴτιον τὸν Θεὸν τῶν ὅλως αὐτῶν μετεχόντων, εἶτα τῶν μερικῶς αὐτῶν μετεχόντων. ἀφαιρῶν γὰρ ὁ νοῦς τὰς μετοχὰς ἀπὸ τῶν μετεχόντων, πρῶτον αὐτὰς θεωρεῖ ὡς μετοχὰς ἔπειτα ὡς τοιάσδε μετοχάς, οἷον αὐτοαγαθότητας, αὐτοσοφίας ἢ ὁπωσοῦν ἄλλως, εἶτα ὡς τοῦδε ἢ τοῦδε αὐτοσοφίαν καὶ αὐτοαγαθότητα. τὰ μὲν οὖν ὀνομάζεσθαι τὸν Θεὸν ἀπὸ τῶν ὄντων φησίν, οἷον δυνατόν, σοφόν, δίκαιον, καὶ μάλιστα τῶν πρώτως ὄντων, οἷον αὐτοδύναμιν, αὐτοσοφίαν, αὐτοδικαιοσύνην (φύσει γὰρ οὐ χρόνῳ ταῦτα πρότερα, διὸ καὶ ὡς τῇ φύσει προτέρων πρώτως αὐτὸς ὡς γεννῶν λέγεται ὑποστάτης καὶ δημιουργός), εἶτα ⟨ἀπὸ⟩ τῶν εἰδῶν αὐτῶν,

εἶτα ⟨ἀπὸ⟩ τῶν ἀτόμων, διὸ καὶ λέγει «*ταῦτα μὲν ὀνομάζεται ἀπὸ τῶν ὄντων, καὶ μάλιστα τῶν πρώτως ὄντων*», τὰ δὲ ὑπεραυτοζωήν, ὑπεραυτοσοφίαν, ὑπεραυτοαγαθότητα ὡς ὑποστάτης πάντων καὶ δημιουργός, ὑπὲρ πάντα καὶ τὰ πρώτως. διὸ εἰ καὶ ταῦτα καὶ τὸν Θεὸν αὐτοζωὴν καὶ αὐτοσοφίαν καὶ αὐτοδύναμιν καλοῦμεν, ἀλλ' ἀρχικῶς μὲν καὶ θεϊκῶς καὶ αἰτιατικῶς τὴν μίαν πάντων ὑπεράρχιον καὶ ὑπερούσιον ἀρχὴν καὶ αἰτίαν, μεθεκτῶς δὲ εἴτουν αἰτιατῶς τὰς ἐκδιδομένας ἐκ τοῦ ἀμεθέκτου προνοητικὰς δυνάμεις. ὥσπερ οὖν ἀπὸ τῶν μετεχόντων κτιστῶν ὄντων ὁ Θεὸς ὀνομάζεται σοφός, ἢ ἀγαθός, ἢ δίκαιος, οὕτω καὶ ἀπὸ τῶν μετοχῶν κτιστῶν οὐσῶν, οἷον τῆς αὐτοσοφίας καὶ αὐτοδικαιοσύνης, ὀνομάζεται αὐτοσοφία καὶ αὐτοδικαιοσύνη, ὡς αἴτιος αὐτῶν κατὰ τὴν αἰτιολογικὴν θεολογίαν. καὶ πάλιν ὑπὲρ τὴν αὐτοσοφίαν, ὑπὲρ τὴν αὐτοδικαιοσύνην, κατὰ τὴν ἀποφατικήν, ἐφ' ὅσον μηδὲν τῶν ὄντων ἐστὶ κατά τι. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὡς πᾶσα ζωὴ καὶ ἁγιότης καὶ ἁπλότης καὶ ἀρετὴ καὶ ἀγαθότης καὶ σοφία πρὸς ἡμᾶς μὲν μετοχαὶ λέγονται φυσικαί, πρὸς δὲ τὸν Θεὸν μετέχοντα ὡς τεχνητὰ τῆς παραδειγματικῆς αἰτίας καθ' ὁμοιότητα ἐκείνου παρηγμένα καὶ ὁμωνυμοῦντα αὐτῷ. καὶ ἐπεὶ ὁ Θεὸς οὐκ ἀπὸ τῆς ἐν αὐτῷ ἀγαθότητος καὶ ἀθανασίας καὶ σοφίας καὶ γινώσκεται καὶ ὀνομάζεται, ἀλλ' ἀπὸ τῶν ἐν ἡμῖν, ἃ καὶ περὶ αὐτὸν λέγεται, ὡς περὶ ἡμᾶς τὰ ἡμέτερα κτήματα καὶ ἔργα, εἴτε ἀποτελέσματα, εἴτε καὶ ἐνέργειαι· οὐ γὰρ ἐκ τῶν κατ' αὐτόν, ἀλλ' ἐκ τῶν περὶ αὐτόν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, κατὰ τὸν θεολόγον Γρηγόριον· διὰ τοῦτο καὶ ἡ ἀγαθότης αὐτοῦ καὶ ἡ σοφία καὶ ἡ ἁπλότης ἔργα λέγονται αὐτοῦ παρὰ τῷ ἁγίῳ Μαξίμῳ. ἔτι δὲ περὶ αὐτὸν οὐσιωδῶς θεωρεῖσθαι ὡς ἐνέργειαι· οὐσιωδῶς δέ, ὅτι οὐ κατὰ μετοχήν, ἀλλὰ κατὰ τὴν οὐσίαν αὐτοῦ δείκνυσι ταῦτα ὄντα τὸν Θεόν, σοφίαν, ἀγαθότητα, ζωὴν καὶ τἄλλα μονοειδῶς καὶ ἑνιαίως. — — εἰκότως ὁ μὲν θεῖος Μάξιμος ἔλεγε, «*πάντων τῶν μετεχόντων καὶ μετεχομένων ἀπειράκις ἀπείρως ὁ Θεὸς ὑπερεξήρηται*», ὁ δὲ θεῖος Διονύσιος αὐτὸς παρ' ἑαυτοῦ λύων τὴν ἀπορίαν, τί οἴεται αὐτοαγαθότητα καὶ βασιλείαν καὶ κυριότητα καὶ θεότητα καὶ τί βούλεται αὐτῷ ὁ τῶν ὀνομάτων διπλασιασμός, οἷον διὰ τί λέγεται ὁ Θεὸς αὐτοαγιότης αὐτοαγιοτήτων καὶ αὐτοθεότης αὐτοθεοτήτων καὶ τἄλλα, ἐπάγει λύσιν, ὅτι *καθόσον ὑπερέχουσι τῶν οὐκ ὄντων τὰ ὄντα ἅγια ἢ θεῖα ἢ κύρια ἢ βασιλικά, καὶ αὖ τῶν αὐτομετεχόντων αἱ αὐτομετοχαί, κατὰ τοσοῦτον ὑπερίδρυται πάντων τῶν ὄντων ὁ ὑπὲρ πάντα καὶ πάντων τῶν μετεχόντων καὶ μεθεκτῶν ὁ ἀμέσως αἴτιος.*

᾿Αλλὰ μήν, εἰ τὰ παρὰ τῷ ἁγίῳ Διονυσίῳ λεγόμενα πρώτως ὄντα ἐν τῷ Θεῷ ὑφίσταντο καὶ ἄκτιστα ἦσαν κατὰ τὸ εἶναι διαφέροντα, οὐκ ἂν ὁ Θεὸς ἓν πρᾶγμα καὶ ἓν ὂν παρὰ πάντων ὡμολογεῖτο, εἰ μήπου τοιοῦτον ἕν, ὡς τὰ ἐκ τῶν πολλῶν ἓν τῇ τοῦ ἑνὸς μετοχῇ, οὐδέ γε δημιουργὸς αὐτῶν ὁ Θεὸς ἐλέγετ' ἄν, οὐδὲ παραγωγεύς· εἰ γὰρ τὰ ἐν ἑαυτῷ αὐτός ἐστιν, ἔσται καὶ ἑαυτοῦ δημιουργός· οὐδέ γε πρεσβύτερον τούτων οὐδὲν τῶν ἄλλων ἐλέγετο, καὶ τὸ μερικώτερόν τε καὶ τὸ καθολικώτερον ἐν τούτοις ἐθεωρεῖτο, κατὰ τὴν τῶν γενῶν τε καὶ εἰδῶν φύσιν· ὃ γὰρ ἔχει τι πρεσβύτερον ἑαυτοῦ, οὔτε ἄκτιστον οὔτε ἀίδιον. οὕτω γὰρ ὁ αὐτὸς διδάσκαλος φησί, *πρώτην τὴν τοῦ αὐτοεῖναι δωρεὰν ἡ αὐτοϋπεραγαθότης προβαλλομένη τῇ πρεσβυτέρᾳ καὶ πρώτῃ τῶν μετοχῶν ὑμνεῖται.* οὐκ ἂν ἐλέγετο περὶ αὐτῶν ὅτι καὶ αὐτὰ τοῦ εἶναι μετέχει, τὸ γὰρ πρώτως ὂν οὐ μετέχει τινός. οὕτω γὰρ αὐτὸς φησί: *καὶ γὰρ αἱ ἀρχαὶ εἰσὶ καὶ πρῶτον εἰσίν, εἶτα ἀρχαὶ εἰσί. καὶ εἰ βούλει τῶν ζώντων, ὡς ζώντων, ἀρχὴν φάναι τὴν αὐτοζωήν, καὶ τῶν ὁμοίων, ὡς ὁμοίων, τὴν αὐτοομοιότητα, καὶ τῶν ἡνωμένων, ὡς ἡνωμένων, τὴν αὐτοένωσιν, καὶ τῶν τεταγμένων, ὡς τεταγμένων, τὴν αὐτόταξιν καὶ τῶν ἄλλων, ὅσα τοῦδε ἢ τοῦδε μετέχοντα, ἢ ἀμφοτέρων ἢ πολλῶν, ἢ τόδε ἢ τόδε, ἢ ἀμφότερα ἢ πολλὰ λέγεται, τὰς αὐτομετοχὰς εὑρήσεις τοῦ εἶναι πρῶτον αὐτὰς μετεχούσας, καὶ τῷ εἶναι πρῶτον μὲν οὔσας, ἔπειτα τοῦδε ἢ τοῦδε ἀρχὰς οὔσας, καὶ τοῦ μετέχειν τοῦ εἶναι καὶ οὔσας καὶ μετεχομένας.* οὐκ ἂν ἐλέγετο παρὰ τοῦ ἁγίου Μαξίμου ἐν τοῖς ἐπὶ τούτοις σχολίοις, « *ἀρχὰς δὲ τῶν ὄντων τὰ πρώτως ὑποστάντα ἐν τῇ κτίσει νόησον* », οὐδ' ὅτι « *τούτων τὰ ὄντα μετέχουσιν οἰκείως ἑαυτοῖς* »· τὸ *γὰρ οἰκείως* τὸ κατὰ φύσιν δηλοῖ.

Οὐ μὴν οὐδὲ τοῦτ' ἂν ἐλέγετο περὶ αὐτῶν τῷ μακαρίῳ Διονυσίῳ, ὡς εἶεν ταῦτα ἐν τοῖς οὖσιν ἀρχηγικώτερα καὶ ὅτι οὐ κυρίως πρώτως ὄντα λέγονται· ἐπάγει γὰρ οὕτως: *εἰ δὲ καὶ ὁ φιλόσοφος ἀξιοῖ Κλήμης πρός τι παραδείγματα λέγεσθαι τὰ ἐν τοῖς οὖσιν ἀρχηγικώτερα, πρόεισι μὲν οὐ διὰ κυρίων καὶ παντελῶν καὶ ἁπλῶν ὀνομάτων ὁ λόγος αὐτῷ — συγχωροῦντας δὲ καὶ τοῦτο ὀρθῶς λέγεσθαι, τῆς θεολογίας μνημονευτέον φασκούσης,* ὅτι « *οὐ παρέδειξά σοι τοῦ πορεύεσθαι ὀπίσω αὐτῶν* » — *ἀλλ' ἵνα διὰ τῆς τούτων ἀναλογικῆς γνώσεως ἐπὶ τὴν πάντων αἰτίαν ὡς οἷόν τε ἀναχθῶμεν.* ὅρα ὅτι σαφῶς ἐν τούτοις ὁ ἅγιος δηλοῦν βούλεται ὡς οὐ δεῖ τούτων ὀπίσω πορεύεσθαι καὶ προσκυνεῖν ὡς ἄκτιστα· εἰκόνες γάρ εἰσι καὶ ὁμοιώματα τῶν πρώτως ὄντων παραδειγμάτων, ἃ ὁ Θεός ἐστιν αὐτὸς — ἔχει γὰρ ταῦτα ὡς ἑαυτὸν ἔχων καὶ ἑνῶν αὐτοῖς, οὐχ ἕτερα παρ' αὐτὸν — δι' ὧν ὁμοιωμάτων

δῆτα καὶ εἰκόνων ἐπὶ τὴν πρώτην αἰτίαν ἀναλογικῶς ἀναγόμεθα. ἀλλ' εἰ καὶ ταῦτα ἄκτιστα ἦσαν, καὶ παραδείγματα ἂν ἐκαλοῦντο καὶ ἁπλῶς καὶ κυρίως πρώτως ὄντα ἐλέγοντο (Μ. Καλέκας).

Καὶ ταῦτα μὲν περὶ τῆς καθόλου σημασίας τοῦ *αὐτὸ* ἐν συνθέσει. Περὶ τῶν ἐπὶ μέρους σημασιῶν γενήσεται λόγος ἐν ἐκδοθησομένῃ μετ' οὐ πολὺ πολυτόμῳ λεξικογραφικῇ βίβλῳ. Ἐνταῦθα σημειούμεθα μόνον, ὅτι αἱ οὕτω συντεθειμέναι λέξεις προσεκτήσαντο ὡς ἐπὶ τὸ πολὺ ὅλως διάφορον τῆς ἀρχικῆς σημασίαν, ὡς δεικνύει τὸ ἑπόμενον περὶ *αὐτοφρονήσεως* χωρίον. «*Ἐπειδὰν κἀμοὶ τὸ πολὺ σῶμα τοῦτο κακίας νόσῳ φθειρόμενον, ὃ γῆν μὲν ἡμεῖς κέντρον ἐκείνου τοῦ θείου κόσμου νομίζομεν, τότε Λαχέσεως ἄτρακτος οὐρανὸν σχίσας τοῖς νήμασιν, ἐκ τῆς Διὸς ἑστίας ἄγει ψυχὴν ἀκραιφνῆ, τῶν θείων φασμάτων παρ' ἡμᾶς τὴν οὐσίαν διαπορθμεύουσαν. αὕτη φέρει δικαιοσύνην, αὕτη ἀνδρείαν παρ' αὐτῆς· αὐτοφρόνησις καθαρῶς ἡ τοιαύτη ψυχή· ἕπεται δὲ αὐτῇ καὶ ἀρετῶν συμφύτων μυρίος θίασος, ὕψος ψυχῆς, μεγαλοπρέπεια γνώμης, ἐλευθέρα φωνή, χεῖρες ἄδωροι, φιλίας πόθος, ἀληθείας ἔρως, ἄτρεπτον φρόνημα*» (Ἱμέριος).

Ι. Φ. ΔΗΜΑΡΑΤΟΣ

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΣΗ ΕΡΕΥΝΩΝ ΚΑΙ ΚΡΙΤΙΚΗ ΦΙΛΟΣΟΦΙΑ Κ. Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006